Lord Dufferin's Address at McGill
(Athens) given honorary degree

Τῷ Ἐπιστάτῃ, τοῖς ἄρχουσι, καὶ τοῖς συνέδροις ταύτης τῆς Ἀκαδημείας.

Ἀσμένως μέν, Ὦ ἐπιστάτα καὶ ἄνδρες λόγιοι, πάντα ἀκήκοα τὰ πρὸς ἐμὲ οὕτως χαριέντως λεχθέντα. μάλιστα δὲ χαίρω ἀκροασάμενος μὲν τὰ φθέγματα τῆς Ἀττικῆς γλώττης, ἐνθυμούμενος δὲ τοὺς ἐμοὺς ἐπαίνους τοῖς Πλάτωνος καὶ Δημοσθένους ῥήμασι λελέχθαι. Τοιγαροῦν καὶ ἐμοὶ βουλομένῳ νῦν ἄν εἴη μὴ ὅτι δι' ὀλίγων ὑμῖν εὐχαριστεῖν, ἀλλὰ καὶ προσειπεῖν τι τῶν ἐν τούτῳ τῷ καιρῷ προσηκόντων ἀκοῦσαι. Ἥδιον γὰρ τοῖς δὴ ὥσπερ ἔμοιγε, περὶ τὰ πολιτικὰ πάσας τὰς ἡμέρας πραγματευομένοις καὶ τευτάζουσι, ἀνάπαυσις ἐστὶν ὀυδεμία τῶν συνεχῶν λυπῶν καὶ φροντίδων, ἤ τὸν δοῦπον ἐᾶν ἐν τῇ λήθῃ τὸν τοῦ κόσμου καὶ τὴν κλαγγὴν τῶν αὐτοῦ πραγμάτων, ἄλλοτε μὲν ἐκτρεπόμενοι εἰς τὰ ἄλση τὰ Ἀκαδημαϊκά, ἄλλοτε δ' ἐν τῷ μαρμαρίνῳ δαπέδῳ τῆς στοᾶς περίπατον ποιούμενοι, ἄλλως τε καὶ τὰς παλαιὰς ἐκεῖ φιλότητας ἀνανεούμενοι. Ἀλλὰ γὰρ τίς οὐκ ἄν τερφθείη ταύτην τὴν ἥμερον ἑστίαν τῆς μουσικῆς καί τῆς εἰρήνης ὁρῶν καὶ σκοπῶν; Οὐ μὲν οὖν — ὥστε πᾶσαν λέγειν τὴν ἀλήθειαν — τίς οὐκ ἄν βουληθείη δεῦρο στρωφᾶσθαι, καὶ σὺν τοῖς φιλτάτοις ἐνθάδε εἶναι τῶν μαθημάτων πασῶν τῶν αὐξήσεων ἀεὶ συναπολαύσων;

Οὐ μὴν ἀλλ' οὐδὲ περὶ ταῦτα τὰ νοήματα νῦν δὴ διατρίβειν ἔμοιγε πρέπει, ὡς τῷ ἐφεστῶτι ἐπὶ λέω νεανίου ἤδη μὲν νῦν προλαμβάνοντος τῆς ὁδοῦ τῆς πρὸς τήν τε δόξαν καὶ τὴν εὐδαιμονίαν φερούσης. ὃς δέ, ὡς οὐκέτι τέλεος ὤν, πολλῶν προσδεῖ τῶν ὑπηρετημάτων ὅιων τοῦτο τὸ πανεπιστήμιον ἀξιοῦμεν παρασχεῖν. Οὕτως νῦν δὴ τῶν πραγμάτων καθεστώτων, εἰ καὶ τοῦτο τὸ διδασκαλεῖον οὐκ ἔσθ' ὅπως ὀυ πᾶσιν μὲν τὸν θυμὸν ἐγείρει, ὥστε καλὰς ἐλπίδας λαμβάνειν περὶ τῆς πατρίδος, ἐμοὶ δὲ μέντοι παρὰ τοὺς ἄλλους μνημονευτέον, ὅτι τὸ κράτος τῆς Καναδῆς τὸ μέλλον οὗτοι οἱ νέοι εἰσίν, καὶ ὅτι τούτους, χρόνου γενομένου, δεήσει. ὧν ἔργων ἡμεῖς νῦν τυγχάνομεν ὑπάρχοντες, ταῦτα μεγαλειοτέρως ἐξεργάζεσθαι καὶ τελεῖν. Τούτοις δή, κατειδότες ἄν ἐνθάδε τὴν σπουδὴν αὐτῶν καὶ τὴν εὐπραγίαν ἐν τῇ τῶν ἐπιτηδευμάτων πάντων χαλεπῇ εἰσόδῳ, δυνησόμεθα πιστεύειν καὶ θαρσαλέως τὸ κοινὸν καταλείπειν.

Οὐχοῦν ταῦτα νομίζων, Ὦ ἄνδρες τιμιώτατοι, πολλὴν χάριν ἔγωγε ὑμῖν οἶδα καὶ ὀφείλω ὅτι ἕταιρον τῆς ὑμῶν συνουσίας ἐμὲ κεχειροτονήκατε. Ὧν μὲν γὰρ ἐτῶν ἐν Ὀξονίῳ διήγαγον ἡβῶν ἀεὶ μνήμων γεγένημαι, ὡς ἐν τῷ βίῳ τῶν ὀλβιωτάτων, οὔδ' ἔτι καὶ νῦν οὐδὲν ἄλλ' ὄνομα τὰ ὦτα ταῦτα μᾶλλον πρὸς ἡδονὴν ἀσπάζεται ἢ τὸ τῆς τροφί ς μητρός. Ταύτην ἄρα τὴν τιμὴν ὡς ἔγωγε περὶ πλείστου ποιησόμενος ὑποσχέσθαι περιττὸν ἦν ἄν.

Ἓν δὲ ἔπος λοιπόν μοι εἰπεῖν, ὑπὲρ τῆς τε εὐγενοῦς ἀνάσσης καί τοῦ ἐμοῦ δόμου παντὸς ὅτι χάριν ἔχουσιν ὑμῖν πολλὴν ὧν πάσῃ προθυμίᾳ ὡς ἀυτοὺς εὐχῶν ἐφθέγξασθε, ἃς ἐν αὐτοῖς τε καὶ ὁμοίως ἐν ὑμῖν εἴθ' ὁ Θεὸς τελέσειεν.

Δυφφερίν.

Τρισκαιδεκάτῃ μηνὸς Φεβρυαρίου,
ἔτει ,α ,ω' ο' η'.

Hunter, Rose & Co., Typ.